In calumniam vocatis & hominibus, & rebus,quæ non exiſtimentur,dicere cauſſam paradoxi. Eſt enim aliquid, ob quod appareat: vt cùm affecta eſſet calumnia quædam,quia ſuum ipſius filium complecteretur,videbatur concumbere cum adoleſcente.Dicta verò cauſa,ſoluta eſt calũnia.& vt in Aiace Theodectis Vlyſſes dicit aduerſus Aiacem. quamobrem cũ fortior ſit Aiace,non videatur.Alius,à cauſſa, ſi adſit,rẽ eſſe:ſi nõ adſit,non eſſe. Simul enim ſunt cauſſa,&cuius cauſſa &ſine cauſſa nihil eſt.vt Leodamas ſe defendens dicebat accuſante Thraſybulo, quòd eſſet notatus infamia in arce, verùm abraſiſſet ſub Triginta viris: Non contingit, inquit. Magis enim credidiſſent mihi ipſi Triginta,inſcripta inimicitia cum populo.Alius, nũ licuit melius,aut licet,quàm ea,quę aut deliberat, aut agit, aut egit, conſiderare. Apparet enim, ſi non ita ſe habet, non egiſſe. Nemo enim ſponte mala, & ſciens præeligit. Eſt autem hoc captioſum. ſæpe enim hoc fit poſterius manifeſtum,quem admodum agere eſſet melius. prius verò incertum. Alius, quando aliquid contrarium agendum ſit iis,quæ acta ſunt, ſimul conſiderare.vt Xenophanes Eleatis interroganttbus num ſacrificarent Leucotheæ, & lugerent,necne: conſuluit,ſi exiſtimarent Deam, ne lugerent, ſi hominem, ne ſacrificarent. Alius locus ex iis,in quibus peccatum eſt, accuſare, aut defendere, vt in Carcini Medea: Hi quidem accuſant, quòd filios occiderit: neque enim apparere eos:nam peccauit Medea in miſſione filiorum. Illa verò ſe defendit, quòd non filios,ſed Iaſonem interfeciſſet.Hoc enim ſi non feciſſet, peccaſſet, cùm & alterum feciſſet. Eſt autem locus iſte & enthymematis ſpecies tota prior Theodori ars. Alius à nomine,vt Sophocles:

Apertè Sidero & gerens nomen.

Et vt in Deorum laudibus ſolent dicere. & vt Conon Thraſybulum Thraſybulum nomiñabat, & Herodicus Thraſymachũ: Semper Thraſymachus es.& Polum:Semper tu Polus es. & Draconem legumlatorem, quòd non hominis leges eſſent, ſed Draconis.aſperæ enim.vt & Euripidis Hecuba in Aphroditen,

Ac nomen rectè Dementiæ initium Deæ,

& vt Cheremon:

A τοῖς προδιαβεβλημένοις καὶ ἀνθρώποις, καὶ πράγμασι, μὴ δοκοῦσι τὸ λέγειν τὴν αἰτίαν τοῦ παραδόξου. ἔστι γάρ τι δι' ὃ φαίνεται· οἷον ὑποβεβλημένης τινὸς τὸν αὐτῆς υἱὸν διὰ τὸ ἀσπάζεσθαι, ἐδόκει συνεῖναι τῷ μειρακίῳ· λεχθέντος δὲ τοῦ αἰτίου, ἐλύθη ἡ διαβολή· καὶ οἷον ἐν τῷ Αἴαντι τῷ Θεοδέκτου, Ὀδυσσεὺς λέγει πρὸς τὸν Αἴαντα, διότι ἀνδρειότερος ὢν τοῦ Αἴαντος, οὐ δοκεῖ. B ἄλλος ἀπὸ τοῦ αἰτίου, ἄν τε ὑπάρχῃ, ὅτι ἐστί· κἂν μὴ ὑπάρχῃ, ὅτι οὐκ ἔστιν· ἅμα γὰρ τὸ αἴτιον καὶ οὗ αἴτιον, καὶ ἄνευ αἰτίου οὐδέν ἐστιν· οἷον Λεωδάμας ἀπολογούμενος ἔλεγε, κατηγορήσαντος Θρασυβούλου, ὅτι ἦν στηλίτης γεγονὼς ἐν τῇ ἀκροπόλει· ἀλλ' ἐκκόψαι ἐπὶ τῶν τριάκοντα· οὐκ ἐνδέχεσθαι ἔφη· μᾶλλον γὰρ ἂν πιστεύειν αὐτῷ τοὺς τριάκοντα, ἐγγεγραμμένης τῆς ἔχθρας πρὸς τὸν δῆμον. C ἄλλος, εἰ ἐνεδέχετο βέλτιον ἄλλως ἢ ἐνδέχεται, ὧν ἢ συμβουλεύει, ἢ πράττει ἢ πέπραχε σκοπεῖν· φανερὸν γὰρ, ὅτι εἰ μὴ οὕτως ἔχει, οὐ πέπραχεν· οὐδεὶς γὰρ ἑκὼν τὰ φαῦλα καὶ γιγνώσκων προαιρεῖται. ἔστι δὲ τοῦτο ψεῦδος· πολλάκις γὰρ ὕστερον γίνεται δῆλον, πῶς ἦν πρᾶξαι D βέλτιον· πρότερον δὲ, ἄδηλον. ἄλλος, ὅταν τι ἐναντίον μέλλῃ πράττεσθαι τοῖς πεπραγμένοις, ἅμα σκοπεῖν· οἷον Ξενοφάνης Ἐλεάταις ἐρωτῶσιν, εἰ θύωσι τῇ Λευκοθέᾳ, καὶ θρηνῶσιν, ἢ μή, συνεβούλευεν, εἰ μὲν θεὸν ὑπολαμβάνουσι, μὴ θρηνεῖν· εἰ δ' ἄνθρωπον, μὴ θύειν. ἄλλος τόπος, τὸ ἐκ τῶν ἁμαρτηθέντων κατηγορεῖν, ἢ ἀπολογεῖσθαι· οἷον ἐν τῇ Καρκίνου Μηδείᾳ, οἱ μὲν κατηγοροῦσιν, E ὅτι τοὺς παῖδας ἀπέκτεινεν, οὐ φαίνεσθαι γοῦν αὐτούς· ἥμαρτε γὰρ ἡ Μήδεια περὶ τὴν ἀποστολὴν τῶν παίδων· ἡ δ' ἀπολογεῖται, ὅτι οὐκ ἂν τοὺς παῖδας, ἀλλὰ τὸν Ἰάσονα ἂν ἀπέκτεινε· τοῦτο γὰρ ἥμαρτεν ἂν μὴ ποιήσασα, εἴπερ καὶ θάτερον ἐποίησεν. ἔστι δ' ὁ τόπος οὗτος τοῦ ἐνθυμήματος, καὶ τὸ εἶδος, ὅλη ἡ πρότερον Θεοδώρου τέχνη. ἄλλος ἀπὸ τοῦ ὀνόματος· F οἷον, ὡς ὁ Σοφοκλῆς,

Σαφῶς Σιδηρὼ καὶ φοροῦσα τοὔνομα.

καὶ ὡς ἐν τοῖς τῶν θεῶν ἐπαίνοις εἰώθασι λέγειν· καὶ ὡς Κόνων Θρασύβουλον, θρασύβουλον ἐκάλει, καὶ Ἡρόδικος Θρασύμαχον, ἀεὶ θρασύμαχος εἶ· καὶ Πῶλον, ἀεὶ σὺ πῶλος εἶ· καὶ Δράκοντα τὸν νομοθέτην, ὅτι οὐκ ἀνθρώπου οἱ νόμοι, ἀλλὰ δράκοντος· χαλεποὶ γάρ· καὶ ὡς ἡ Εὐριπίδου Ἑκάβη εἰς τὴν Ἀφροδίτην, Καὶ τοὔνομ' ὀρθῶς ἀφροσύνης ἄρχει θεᾶς. καὶ ὡς Χαιρήμων,